Il. II 283 *ὅ σφιν*] *τρία ῥητορικῆς εἴδη, συμβουλευτικόν, ὅ ἐστι ἐκ προτροπῆς καὶ ἀποτροπῆς, ὡς νῦν. δικανικὸν ἐκ κατηγορίας καὶ ἀπολογίας, ὡς δύο δ'ἄνδρες ἐνείκεον εἵνεκα ποίνης· πανηγυρικόν, ἐξ ἐγκωμίου καὶ ψόγου ὡς ὦ μάκαρ Ἀτρείδη, καὶ οἰνοβαρὲς κυνὸς ὄμματ' ἔχων.*

Il. III 212 *ἀλλ' ὅτε δὴ μύθους*] *τρεῖς τρόπους ῥητορείας οἶδεν*

[1]) ed. Reifferscheid p. 103.

Ὅμηρος, τὸν ἀπολελυμμένον καὶ βραχὺν καὶ ἱκανὸν αὐτὰ τὰ ἀναγκεῖα παραστῆσαν, ὅν Λυσίας ἐζήλωσεν, τὸν δὲ ὑψηλὸν καὶ καταπληκτικὸν καὶ μεστὸν ἐνθυμημάτων, καὶ τούτων ἀθρόως ἐκφερομένων, ὡς νῦν, ὅν Δημοσθένης· τὸν δὲ πιθανὸν καὶ τεχνικὸν καὶ πολλῶν πλήρη δογμάτων, ὅν Ἰσοκράτης, τὸ γνωμικὸν καὶ σαφὲς ἐπιλεγόμενος.

Il. II 760 Ven. B. *οὗτοι*] *διὰ τοῦ οὗτοι συνεκεφαλαιώσατο τὸν κατάλογον, τῶν μὲν εἰρημένων μνήμην, τῶν δὲ ῥηθησομένων ἔφεσιν ἐργαζόμενος. ἀφορισμὸν δὲ τοῦτο καλοῦσι οἱ ῥήτορες.*

Il. V 883 *Κύπριδα μὲν*] *ῥητορικὸν τὸ μὴ ἐκ τῶν οἰκείων ἄρχεσθαι κατηγοριῶν, ἀλλὰ ἐξ ἑτέρων ὡμολογημένων.*

Il. VIII 424 *Διὸς ἄντα*] *ῥητορικῶς ἀμφοτέρας ἐνέθηκε τὰς προσηγορίας, ἐκεῖ μὲν ἐντρέπουσα σῷ πατρὶ, νῦν δὲ ἐκδειματοῦσα Διὸς ἄντα φησί.*

Il. XIV 91 *ῥητορικὸν δὲ τὸ σχῆμα, ὅταν αἰτιώμενοί τινας πεφεισμένως μὴ τὰς κυρίας ὀνομασίας τῶν ἁμαρτημάτων λέγωμεν.*

Il. XV 496 *ῥητορικῶς δὲ τὸ ἓν πρᾶγμα, τὴν πόρθησιν, εἰς πολλὰ κατεμέρισεν, ὡς καὶ τὸ „ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δ'ἄλλοι ἄγουσι“.*

Soph. Oed. Kol. 1254 *παραφυλάττετε πάλιν τὴν τέχνην τῆς ῥητορείας αὐτοῦ, ὅτι οὐκ εὐθέως ἐπὶ τὴν ὑπόθεσιν ἑαυτοῦ ἀπαντᾷ, ἀλλὰ προκατασκευάζει τὸ ὅλα εἰς εὔνοιαν.*

Donat. Ad. III 4, 32 mater virginis in medio est] terribiliter satis „in medio est“ quasi retineri non possit nec cohiberi, quin rem prodat publice. et praeterea cum argumentorum genera duo sint, *ἔντεχνον καὶ ἄτεχνον*, sicut in rebus manifestis *ἀτέχνῳ* utitur. cf. III 4, 37.

Ad. IV 4, 43 illaec fidem nunc vestram] haec oratoria *πλάσις* est: non enim vere rogat, sed hoc videtur facere.

Hec. II 1, 9 non ita me di amant] *ἄτεχνος πίστις* per iusiurandum. cf. IV 4, 75.

Phorm. II 1, 52 postquam ad iudices ventum est non potuit cogitata proloqui] haec apud oratores *μετάθεσις αἰτίας* dicitur, hoc est translatio causae facti, quem vulgo colorem nominant.

Serv. Aen. IV 284 exordia] orationem. sed exordium in duo dividitur, in principium et orationem, sicut in rhetoricis legimus.

Praeter rhetoricam etiam philosophiae dogmata in hunc maxime modum tractabantur, ut grammaticus discipulis sententias complurium philosophorum exponeret.

Quint. I 4, 4: „nec ignara philosophiae cum propter plurimos in omnibus fere carminibus locus ex intima naturalium quaestionum subtilitate repetitos, tum vel propter Empedoclea in Graecis, Varronem et Lucretium in Latinis, qui praecepta sapientiae versibus tradiderunt.“

Il. II 118 *τοῦ γὰρ κράτος*] *Πυθαγόρας φησὶ τί ἐστι θεός; τὸ πάντων κρατοῦν, ὅς γε καὶ πολέμων ἐξουσίαν ἔχει. τίς οὖν ἂν εἴην ἐγώ.* cf. II 349, II 439 Ven. B.

Il. V 2 *μένος καὶ θάρσος*] *τὸ μένος ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς . . . θάρσος δέ ἐστι κατὰ μὲν τοὺς Στωικοὺς φιλοσόφους τὸ ἀσφαλῶς πεποιθέναι αὑτῷ ὅτι οὐδενὶ ἂν δεινῷ περιπέσοι, κατὰ δὲ τοὺς ἐκ τοῦ Περιπάτου τὸ εὔελπιν εἶναι τοῦ μηδενὶ ἂν δεινῷ περιπεσεῖν ὅσον ἐφ᾽ ἑαυτῷ, κατὰ δὲ τοὺς ἐξ Ἀκαδημίας καὶ τοὺς Ἐρετρικοὺς ἐπίθασις θαρραλέα, κατὰ δὲ τοὺς Κυρηναίους καὶ Ἐπικουρείους εὐσταθεῖν, κατὰ διάνοιαν καὶ λόγον ἐν δεινῶν ὑπομοναῖς, ὥς φησιν ὁ ποιητής· καὶ οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκεν, τί οὖν ἐστι θάρσος; τὸ εὔλογον παράστημα τῆς ψυχῆς, θράσος τοὐναντίον.* cf. V 2 Ven. B.

Il. IX 678 *σβέσαι χόλον*] *πυρώδης γὰρ ὁ θυμός. ἐντεῦθεν δὲ καὶ ὡρίσαντο οἱ φιλόσοφοι „θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος“.*

Il. XXIII 66 *Πατροκλῆος*] *ἄκρως δ᾽ἐπεξεργάζεται τὴν ἐπιφάνειαν τοῦ ὀνείρου· ἔναυλος γὰρ τῷ Ἀχιλλεῖ ὁ τοῦ φίλου τύπος. ἐντεῦθεν Ἀντισθένης ὁμοσχήμονάς φησι τὰς ψυχὰς τοῖς περιέχουσι σώμασι εἶναι. Χρύσιππος δὲ μετὰ τὸν χωρισμὸν τοῦ σώματος σφαιροειδεῖς γενέσθαι δογματίζει.*

Il. XXIV 129 *Πυθαγόρας παραιτεῖ καρδίαν μὴ ἐσθίειν, ὅ ἐστιν ἄλυπον καὶ ἀτάραχον διάγειν τὸν βίον.*

Il. VIII 3 Ven. B. hae quaestiones excerptae sunt ex Heraclito.

Il. XVI 857 *ὃν πότμον γοόωσα*] . . . *ὁ δὲ Πυθαγόρας κακῶς φησιν ὅτι ἡ ψυχὴ μετὰ τὸ ἐξελθεῖν εἰς φυτά τινα καὶ σώματα καὶ θάμνους μεταβάλλεται, ὅθεν καὶ λελύπηται.*

Il. XVII 238 *τὸ Περιπατητικὸν δόγμα οἶδεν ὁ ποιητὴς πρῶτος ὅτι οὐδὲ αὐτὸς ὁ ἀνάρετος ἄφοβος οὐδὲ ἀπαθής.*

Il. XVIII 82 *Πυθαγόρειοι δὲ ἐρωτώμενοι τί ἐστι φίλος, ἔλεγον ἄλλος ἐγώ.* cf. XVIII 515.

Od. VIII 267 *ἀμφ᾽ Ἄρεως φιλότητος*] *τὰ Σικελικὰ δόγματα καὶ τὴν Ἐμπηδόκλειον γνώμην ἔοικεν ἀπὸ τούτων βεβαιοῦν· Ἄρην μὲν ὀνομάζει τὸ νεῖκος, τὴν δὲ Ἀφροδίτην φιλίαν. τούτους οὖν διεστηκότας ἐν ἀρχῇ παρεισήγαγεν Ὅμηρος ἐκ τῆς πάλαι φιλονεικίας εἰς ὁμόνοιαν μίαν κιρναμένους. ὅθεν εὐλόγως ἐξ ἀμφοῖν Ἁρμονία γεγένηται, τοῦ παντὸς ἀσαλεύτως καὶ κατ᾽ ἐμμέλειαν ἁρμοσθέντος.*

Od. IX 28 *γνῶθι ὅτι καλῶς λέγει καὶ Ἐπίκουρος ὁ φιλόσοφος τῷ ἑαυτοῦ δόγματι ἄριστον τέλος εἶναι πάντων τὴν ἡδονήν, ἐξ Ὁμήρου τοῦτο λαβὼν καὶ ἐπὶ πάντων αὐτὸς ἐκτείνας τὴν τῆς ἡδονῆς τελειότητα.*

Od. XVIII 136 *τοῖος γὰρ νόος ἐστίν*] *οἱ μὲν φιλόσοφοι ἐκδέχονται ὅτι οἷον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην καὶ τὴν ἡμέραν διατελοῦσι οἱ ἄνθρωποι. ὁ ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ προσπίπτοντα, τούτοις ἐξομοιούμεθα.*

Hes. Erg. 105 *Διὸς νόον ἐξαλέασθαι*] *οὐ δυνατόν ἐστι τοῦ Διὸς νοῦν ἐκκλῖναι, ὅ ἐστι τὴν Εἱμαρμένην. ταύτην γὰρ οἱ Στωικοὶ Διὸς νοῦν προσηγορεύκασι.*

Theocr. id. XIV 5 hoc scholio multa de Pythagoreis dicuntur.

Eur. Hipp. 79 *ὅσοις διδακτὸν μηδέν*] *διδακτόν ἐστι τὸ μὴ ἐκ φύσεως πλεονέκτημα, ἀλλ᾽ ἐκ συνεχοῦς μελέτης ἀνυόμενον. καὶ οἱ φιλόσοφοι διδακτὰ μὲν τὰ πονηρὰ καλοῦσι, φυσικὸ δὲ τὰ ἀγαθά. διδακτὸν οὖν τὸ ἐκ βίας τῆς φύσεως μάθημα ἢ συνεχεῖ ἐγνωσμένον μελέτῃ. τὰ γοῦν ἑξῆς ἐπινοία καλὰ καὶ πάλιν καλά εἰσι.* cf. Hipp. 192, 601.

Donat. Andr. I 1, 3 quid est quod tibi mea ars efficere] ars *ἀπὸ τῆς ἀρετῆς* dicta est per *συγκοπήν. ἀρετή* autem virtus est. Virtutis vero quattuor generales sunt species: prudentia, iustitia, patientia, fortitudo. sed prudentia in multis rebus descendit. cf. V 5, 3.

Eun. III 5, 40 deum se in hominem convertisse] *φιλοσοφικῶς* Terentius demonstravit, quam cladem moribus hominum et civitatibus afferunt figmenta poetarum, cum exempla scelerum afferant peccaturis.

Serv. Aen. I 227 iactantem pectore curas] nunc secundum Stoicos loquitur, qui deos dicunt humana curare, interdum secundum Epicureos, poetica utens licentia. cf. I 331, 604.

Aen. II 155 vestrum numen] quia secundum philosophos dicuntur sidera elementa esse, sed habere proprias potestates. cf. II 689.

Aen. III 90 visa repente] Stoicos et Academicos secutus est qui dicunt ea quae contra naturam sunt non fieri, sed fieri videri: unde magica ars omnis exclusa est, sicut Plinius Secundus docet in naturali historia. cf. III 241.

Aen. IV 379 quietos sollicitavit] Cicero in libris de deorum natura triplicem de diis dicit esse opinionem. deos non esse, cuius rei auctor apud Athenas exustus est; esse et nihil curare, ut Epicurei; esse et curare, ut Stoici: secundum quos paulo post „siquid pia numina possunt". nam modo secundum Epicureos ait „ea cura quietos". cf. IV 625, 638.

Aen. V 81 animaeque umbraeque paternae] vocativus pluralis est: nam Plato et Aristoteles et omnes periti dicunt in hominibus quattuor esse animas; unam vitalem, ut in vermibus, qui tantum moventur; aliam sensualem, ut in mutis animalibus, in quibus est sensus et timoris et gaudii; tertiam intellectualem, ut in hominibus, qui et cogitare et recte iudicare possunt; esse etiam quartam infra omnes, quae φυσική vocatur, ut est in herbis et arboribus, quae etiam motu carentes, vitam tamen habent; nam et nascuntur et crescunt et pereunt, unde est atque interfice messes. his rebus colligitur, hominem harum omnium animarum esse participem, unde Sallustius ait: alterum nobis cum diis, alterum cum beluis commune est.

Aen. VI 448 nunc femina Caeneus] . . . hoc autem dicto ostendit Platonicum illud vel Aristotelicum, animas per μετεμψύχωσιν sexum plerumque mutare. cf. VI 733.

Aen. VIII 334 Fortuna omnipotens et ineluctabile Fatum] secundum Stoicos locutus est, qui nasci et mori fatis dant, media omnia fortunae. unde et miscuit, ut quasi plenum ostenderet dogma: nam nihil tam contrarium est fato quam casus, sed secundum Stoicos dixit.

Aen. IX 182 dine hunc ardorem mentibus addunt Euryale an sua] apud Plotinum philosophum et alios quaeritur, utrum mentis nostrae acies per se ad cupiditates et consilia moveatur, an impulsu alicuius numinis? et primo dixerunt mentes humanas moveri sua sponte; deprehenderunt tamen ad omnia honesta inpelli nos genio et numine quodam familiari, quod nobis nascentibus datur, prava vero nostra mente nos cupere et desiderare: nec enim potest fieri ut prava numinum voluntate cupiamus, quibus nihil malum constat placere. unde nunc hic ortus est sensus: hoc enim dicit Nisus: o Euryale, dine nostris mentibus cupiditates iniciunt et desideria, an deus fit ipsa mentis cupiditas.

Aen. X 467 stat sua cuique dies] sectis philosophorum poetae pro qualitate negotiorum semper utuntur, nec se umquam ad unam alligant nisi quorum hoc propositum est, ut fecit Lucretius, qui Epicureos tantum secutus est. scimus autem inter se sectas esse contrarias. unde fit ut in uno poeta aliqua contraria inveniamus, non ex ipsius vitio, sed ex varietate sectarum. illud namque quod ait in quarto „sed misera ante diem" Epicureorum est, qui casibus cuncta concedunt. nunc quod dicit „stat sua cuique dies" Stoicorum est, qui dicunt fatorum statuta servari. sane prudenter fecit ut fluxam et vagam opinionem Epicureorum daret homini — nam illud ex persona poetae dictum — hanc autem validam daret Iovi: nam Stoici et nimiae virtutis sunt et cultores deorum.

Grammaticorum scholae paraphrases propriae sunt. Quintilianus[1]) magistro a discipulis postulandum esse, ut partes orationis soluto verso recitarentur, praescribit, qua in re omnia, quae erant barbara aut quae cum dicendi ratione non congruebant, vituperabantur. Paraphrasis exercitatio nonnumquam ab explanatione poetae esse separata videtur. Imprimis Aesopi fabellae tractabantur. Quint. I 9, 2 „igitur Aesopi fabellas, quae fabulis nutricularum proxime succedunt, narrare sermone puro et nihil se supra modum extollente, deinde eandem gracilitatem

[1]) Quint. I 8, 13.

stilo exigere condiscant: versus primo solvere, mox mutatis verbis interpretari, tum paraphrasi audacius vertere, qua et breviare quaedam et oxornare salvo modo poetae sensu permittitur". In scholiis plerumque paraphrasim verba „*ὁ δὲ νοῦς*" graece vel latine „ordo et sensus" praecedunt. Cum sit longum omnes paraphrases enumerare, praesertim cum scholia Pindarica continua paraphrasis sint, nonnullas modo afferre mihi liceat.

Il. XIX 225 *γαστέρι*] *ὁ νοῦς· εἰ μέλλομεν ἄσιτοι πενθεῖν τοὺς ἐν πολέμῳ ἀποθανόντας ἀνήνυτον ἔσται.*

cf. XIX 225 *γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς·*
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσι· πότε κέν τις ἀναπνεύσειε πόνοιο;

Od. III 231 *ὁ λόγος καὶ νοῦς οὕτως· ἄνδρα ᾧ εἵμαρται τὸ ζῆν δύναται ὁ θεὸς σῶσαι κινδυνεύοντα· ᾧ δὲ εἵμαρται τὸ ἀποθανεῖν οὐδὲ οἱ θεοὶ δύνανται παρὰ μοῖραν βοηθῆσαι.* cf. V 447, XI 397, XIV 325.

cf. III 231 *ῥεῖα θεός γ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαῶσαι*
. . . .
ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
μοῖρ' ὀλοὴ καθέλησε τανηλεγέος θανάτοιο.

Soph. Oed. Kol. 1571 *κνυζεῖσθαί τ'*] *ὁ γὰρ νοῦς· ὃν φασι κοιμᾶσθαι, κνυζεῖσθαί τέ φασιν.*

cf. 1571 *ὃν ἐν πύλαισι*
φασὶ πολυξένοις
εὐνᾶσθαι κνυζεῖσθαί τ' ἐξ ἄντρων
ἀδάματον φύλακα παρ' Ἀΐδᾳ
λόγος αἰὲν ἔχει.

Ant. 103 *ὦ χρυσέας ἁμέρας*] *ὁ δὲ νοῦς· ὦ καλλίστη ἡμέρα, ἐφάνης ἐν Θήβαις, βάντα τὸν Ἀργολικὸν στρατὸν τὸν λεύκασπιν πανσαγίᾳ, τουτέστι πάσῃ σάγῃ καὶ σκευῇ χρησάμενον, ὀξυτέρῳ κινήσασα χαλινῷ φυγάδα.*

cf. 103 *ἐφάνθης ποτ', ὦ χρυσέας ἁμέρας βλέφαρον*
Διρκαίων ὑπὲρ ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν Ἀργόθεν ἐκ φῶτα βάντα πανσαγίᾳ
φυγάδα πρόδρομον ὀξυτέρῳ κινήσασα χαλινῷ.

Trach. 13 *ἐκ δὲ δασκίου γενειάδος*] *ὁ νοῦς· ἐκ δὲ τῆς δασυτρίχος γενειάδος αὐτοῦ κατέῤῥει πλῆθος ὑδάτων, ὡς ἀπὸ κρήνης.* cf. 57, 305, 503, 632, 892, 955.

cf. 13 *ἐκ δὲ δασκίου γενειάδος*
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.

Ai. 554 *τὸ μὴ φρονεῖν γάρ*] *ὁ δὲ νοῦς· ἐν τῷ νηπίῳ κακὸν δὲ ὅμως ἀνώδυνον.* cf. 628, 665, 1351.

cf. 554 *τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακὸν*
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.

Phil. 837 *καιρός τοι πάντων γνώμαν*] *ὁ δὲ νοῦς· ὁ καιρὸς ἐκεῖνος ὁ εὐκαίρως ἐπιτελούμενος πολλοῖς εὐδοξίαν σύνεγγυς παρέχει.* cf. 1103, 1116, 1378.

cf. 837 *καιρός τοι πάντων γνώμαν ἴσχων*
πολύ τι πολὺ παρὰ πόδα κράτος ἄρνυται.

Theocr. id. I 1 *ἡ δὲ διάνοια καὶ τὸ ἑξῆς ἔχει οὕτως· αἰπόλε, καὶ ἡ πίτυς ἐκείνη, ἥτις ἐστὶ παρὰ ταῖς πηγαῖς, ἡδεῖάν τινα μελίζει, ἤγουν μετὰ μέλους καὶ ῥυθμοῦ τινος ἀφίησι, τὴν τῶν φύλλων λεπτὴν ἀπήχησιν.* cf. I 40, III 14, IV 28, VII 5, 45, 103, IX 21, XI 1.

cf. I 1 *ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα*
ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται, ἁδὺ δὲ καὶ τύ συρίσδες.

Eur. Rhes. 245 *τὸ ἑξῆς τοῦ νοῦ· ὄντως σπανία τῶν ἀγαθῶν γίνεται, ὅταν ὡς ἐν πελάγει τὸ τῆς καταδύσεως δυσήλιον ᾖ καὶ ζοφῶδες καὶ σαλεύῃ πόλις.* cf. 481.

cf. 245 *ἦ σπανία*
τῶν ἀγαθῶν, ὅταν ᾖ
δυσάλιον ἐν πελάγει καὶ σαλεύῃ
πόλις.

Hipp. 5 *τοὺς μὲν σέβοντας*] *τὸ ἑξῆς τῆς διανοίας· προαποδειχθέντος τοῦ μεγάλην μέ τινα καὶ ἐπιστήμονα εἶναι παρ' ἀνθρώποις, τοιαύτη τίς εἰμι τὴν φύσιν, ὡς τοὺς μὲν σέβοντας τιμᾶν, τοὺς δὲ ἀποσειομένους τὴν εἰς ἐμὲ εὐσέβειαν καταβάλλειν.* cf. 208, 226, 228, 695, 821.

cf. 5 *τοὺς μὲν σέβοντας ταμὰ πρεσβεύω κράτη,*
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.

Hec. 70 *δείμασι φάσμασι*] *ὁ δὲ νοῦς· τί μετεωρίζομαι ἐν τούτοις τοῖς φάσμασι.* cf. 468.

cf. 70 *τί ποτ' αἴρομαι ἔννυχος οὕτω*
δείμασι φάσμασι.

Or. 103 *ὁ δὲ νοῦς· δεινῶς γὰρ διὰ στόματος τοῦ Ἄργους ἀναβοάσω.* cf. 640.

cf. 103 *δεινὸν γὰρ Ἄργει γ' ἀναβοᾷ διὰ στόμα.*

Med. 282 *παραμίσχειν*] *ὁ δὲ νοῦς· εὐσχημόνως οὐ δεῖ τοὺς λόγους λέγειν καὶ περιστέλλειν καὶ περικαλύπτειν, ἀλλ' ἐκ τοῖ ἐναντίου ἐμφαίνειν καὶ ἄντικρυς λέγειν ὅτι δέδοικά σε.* cf. 734.

cf. 282 *δέδοικά σε, οὐδὲν δεῖ παραμίσχειν λόγους.*

Andr. 192 *ἐχεγγύῳ λόγῳ*] *ὁ δὲ νοῦς· τίνι βεβαίῳ λογισμῷ πεισθεῖσα ἐγὼ ἀπωθῶ σε τοῦ γνησίου γάμου;* cf. 269.

cf. 192 *εἴπ', ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ*
πεισθεῖσ' ἀπωθῶ γνησίων νυμφευμάτων;

Pind. Ol. I 24 *οἷα παίζομεν φίλαν*] *ὁ δὲ νοῦς· ὁποίαν μάλιστα μουσικὴν οἱ ἄνθρωποι συνεχῶς κατὰ τὰ συμπόσια περὶ τὴν προσφιλῆ τραπέζαν παίζομεν.*

cf. I 24 *ἀγλαΐζεται δὲ καὶ*
μουσικᾶς ἐν ἀώτῳ
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τραπέζαν.

cf. I 146, 152, 181, II 8, 93, IV 7, V 54, VI 52, 55, 70, 73, 88, 95, 109, 124, 140, 148, 167, 168, 174, XII 32, 71, 84, 110, 127, 131, 138, 159, 164, VIII 48, 64, IX 33, 107, XI 9, 36, 51, 76, 99, 101, XIII 17, 27, 69, 97, 100, 116, 144, 159, XIV 116.

Pyth. I 3, 7, 10, 18, 25, 36, 41, 47, 54, 101, 121, II 6, 16, 27, 34, 52, 73, 121, 157, III 9, 27, 48, 62, 111, 127, 137, 195, IV 1, 6, 24, 29, 35, 74, 100, 104, 113, 135, 154, 181, 211, 231, 242, 319, 412, 422, 445, 453, 468, 504, V 1, 45, 64, 96, VI 4, 13, 19, 35, 39, VIII 3, 15, 25, IX 1, 6, 16, 27, 33, 95, 104, 126, 137, 148, 214, X 8, 79, XI 12, 58, XII 1.

Nem. I 4, 11, 32, 34, 37, 42, 49, 85, 86, 105, II 1, 22, III 16, 18, 27, 38, 71. 75, IV 6, 10, 14, 40, 53, 64, 76, 81, 88, 92, 101, 112, 126, 142, 151, 155, V 1, 10, 12, 17, 25, 30, 34, 67, 75, 78, 81, VI 4,

7, 14, 21, 53, 64, 67, 71, 94, 97, 104, VII 1, 16, 20, 25, 29, 39, 46, 56, 68, 89, 100, 103, 113, 137, 141, 150, VIII 1, 19, 41, 58, 68, 79, IX 1, 16, 18, 30, 35, 53, 93, 119, X 21, 46, 49, 53, 112, 132, 147, 168, XI 1, 10, 24, 30.

Donat. Andr. II 1, 30 ego Charine ne utiquam officium] sensus hic est: non puto inquit, liberum hominem qui cum nihil praestet, deberi sibi gratiam poscat. ergo cum nihil tibi praestem, nolo mihi gratias agas. non enim tui causa fugio, quem priusquam me peteres magis nolebam ducere quam tu cupis. cf. I 1, 24, III 5, 5, IV 1, 31, 57; 2, 19, V 5, 2.

cf. II 1, 30 ego Charine ne utiquam officium liberi esse
hominis puto
quom is nil mereat, postulare, id gratiae apponi
sibi
nuptias effugere ego istas malo quam tu adipiscier.

Ad. I 2, 61 neque omnia haec sunt quae quare dicit tamen] et hic sensus est: nec contemnenda sunt quae dicit nec omnia dicit tamen, hoc est: non haec sola sunt quae dicit, sed alia multa sunt. cf. II 1, 15.

cf. I 2, 61 nec nihil, neque omnia haec sunt quae dicit; tamen
non nihil molesta haec sunt mihi.

Hec. I 2, 39 Bacchidem amabat] ordo et sensus hic est: hanc Bacchidem ut amabat Pamphilus, tum cum maxime amabat, cum pater uxorem, ut ducat, orare occipit. cf. IV 2, 5, V 1, 2; 2, 28.

cf. I 2, 39 hanc Bacchidem
amabat, ut cum maxime, tum Pamphilus
cum pater uxorem ud ducat orare occipit.

Phorm. II 1, 75 nihil suave meritum est] ordo et sensus hic est: nihil mihi mercedis suave est, ut ego illam cum illo nuptam feram. cf. III 2, 17.

cf. II 1, 75 egon illam cum illo ut patiar nuptam unum diem
nihil suave meritumst.

Eun. III 5, 3 nunc est profecto] sensus et ordo hic est: nunc est profecto tempus, cum perpeti possum interfici. cf. III 5, 9.

cf. III 5, 3 nunc est profecto, interfici quom perpeti me possum.

Serv. Aen. III 379 prohibent, nam cetera scire] et est sensus: cetera te scire non sinunt fata, Helenum vero Iuno prohibet dicere etiam ea, quae audire poteras. cf. III 686, IX 789.

cf. III 379 prohibent nam cetera parcae
scire Helenum farique vetat Saturnia Iuno.

III. Κρίσις.

Κρίσις ποιημάτων a Dionysio pulcherima grammaticae pars habetur idque merito, cum minoris momenti esse menda dictionis et compositionis perspicere grammatici putarent, sed vim carminis ad mores et ad pulchritudinem elegantiamque spéctantem cognoscere studerent et sermonis argutiis, actionum progressu, ingenii notatione personarum delectarentur. Discipuli autem a grammatico instructi artificium intueri poetae opus didicerunt.[1])

Plut. Mor. 18, B: *„ἐν οἷς μάλιστα δεῖ τὸν νέον ἐθίζεσθαι, διδασκόμενον ὅτι τὴν πρᾶξιν οὐκ ἐπαινοῦμεν, ἧς γέγονεν ἡ μίμησις, ἀλλὰ τὴν τέχνην εἰ μίμηται προσηκόντως τὸ ὑποκείμενον“.*

C: *„οὗτος ὁ νέος ἀναγιγνώσκων ἃ Θερσίτης ὁ γελωτοποιὸς ἢ Σίσυφος ὁ φθορεὺς ἢ Βάτραχος ὁ πορνοβοσκὸς λέγων ἢ πράττων πεποίηται διδασκέσθω τὴν μιμουμένην ταῦτα δύναμιν καὶ τέχνην ἐπαινεῖν, ἃς δὲ διαθέσεις καὶ πράξεις μιμεῖται καὶ προβάλλεσθαι καὶ κακίζειν“.*

Dissentiens autem scholiastes Dion. dicit[2]): *„κρίνει δὲ τὰ ποιήματα οὐχ ὅτι καλά ἐστι ἢ κακά· ποιητοῦ γὰρ ἂν εἴη τὸ τοιοῦτον· ἀλλ᾽ ἐπειδὴ πᾶν μέτρον ὑπὸ τὴν τέχνην ἐστίν, ἀνάγκη τὸν γραμματικὸν ταῦτα πάντα διακρίνειν, εἰ τοῦ αὐτοῦ ἐστι ποιητοῦ ἢ οὔ“.*

Sed scholia aestimationem plus valere confirmant.

Il. V 7 *Ζωΐλος ὁ Ἐφέσιος κατηγορεῖ τοῦ τόπου τούτου, καὶ μέμφεται ποιητῇ ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδους καιόμενον πῦρ· ἐκινδύνευσε γὰρ ἂν καταφλεχθῆναι ὁ ἥρως· ἔνιοι μὲν οὖν παραλελεῖφθαι τὸ ὡς κατὰ συνήθειαν τῷ ποιητῇ, ὡς καὶ ἐν ἑτέροις „ὡς οἱ μὲν μάρναντο δέμας πυρός“ καὶ*

[1]) cf. Rutherford p. 329 sq.

[2]) Hilgard 169, 2.

ἐνθάδε τὸ δαῖε οἱ ἀκάματον πῦρ, ἵν᾽ ᾖ πυρὸς φαντασία, οὐκ εἰδικῶς πῦρ. cf. V 20.

Il. V 9 *ἦν δέ τις] τοῦτο τὸ εἶδος διήγησις λέγεται· τρεῖς ἀρεταὶ διηγήσεως, σαφήνεια, συντομία, πιθανότης, ἅπερ ἐνέθηκαν, τὸ ἔθνος, τὸ ὄνομα, τὴν τύχην, τὸν τρόπον, τὴν ἀρχήν, τῶν παίδων τὰ ὀνόματα καὶ τὴν ἀρετὴν παραστήσας.*

Il. VI 248 *δώδεκ᾽ ἔσαν τέγεοι θάλαμοι] ἐπιμελῶς δὲ Ὅμηρος καὶ διὰ τῆς Ἰλιάδος καὶ διὰ τῆς Ὀδυσσείας τοὺς γυναικείους θαλάμους ὑπερῴους συνίστησιν.*

Il. VI 280 *Πάριν μετελεύσομαι] . . . καλῶς δὲ τὰ ἀναγκαῖα προκρίνει τῶν ἡδέων.*

Il. VII 62 *ἐμψυχῶς οὖν τὰς φάλαγγας φρίσσειν φησίν.*

Il. VII 308 *ὡς εἶδον ζωόν] καλῶς δὲ ἐπὶ μὲν Ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐδήλωσεν, ἐπὶ δὲ Αἴαντος τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν.*

Il. VIII 85 *ἀπέταμνε] δεινός ἐστι Ὅμηρος καὶ διὰ μιᾶς λέξεως ὅλον τὸν ἄνδρα σημαίνειν.*

Il. VIII 542 *κελάδησαν] καλῶς ἐπὶ μὲν τῶν Ἑλλήνων φησὶ „Ἀργεῖοι δὲ μέγ᾽ ἴαχον, ἀμφὶ δὲ νῆας σμερδαλέον“, ἐπὶ δὲ τῶν Τρώων κελάδησαν λέγει. θορυβῶδες γὰρ τὸ βαρβαρικόν.*

Il. IX 1 *ὡς οἱ μὲν Τρῶες] καλῶς εἶπεν.*

Il. IX 4 *καλῶς δύο ἀνέμους παρέλαβεν ταράσσοντες τὸ πέλαγος, ἵνα καὶ δύο πάθη ψυχῆς παραστήσῃ.*

Il. XIV 205 *τοὺς εἶμ᾽ ὀψομένη] ὅτι νῦν καλῶς λέγονται, ἐν δὲ τοῖς κάτω πρὸς τὸν Δία οὐκέτι.*

Il. XVII 657 *πολλαὶ αἱ εἰκόνες τοῦ ἥρωος, καὶ ἑκάστη κατὰ καιρὸν ἁρμόδιος.*

Il. XXIII 263 *ἀκριβὴς γὰρ ὁ ποιητὴς περὶ τὰ ἀκτὰ καὶ φορητά.*

Il. II 161 Ven. B. *Πριάμῳ καὶ Τρωσί] καλῶς οὐκ Ἀλεξάνδρῳ, ἀλλὰ Πριάμῳ καὶ Τρωσί φησι.*

Il. II 336 *δεινῶς ἅμα καὶ εὐπόρως τὴν αὐτὴν ῥητόρειαν.*

Il. IV 439 *ὦρσε δὲ τοὺς μὲν Ἄρης] μεγαλοπρεπὴς ἡ φαντασία.*

Il. VI 81 *χερσὶ γυναικῶν] καλῶς οὐκ εἶπε πύλῃσι ἢ οἴκοισι· τοῦτο γὰρ εὐσχημονέστερον καὶ ἀτιμότερον.*

Il. IX 559 *τῶν τότε] ἐπαινετὸν τὸ ἀκριβὲς περὶ τὴν ἑκάστου ἠθοποιΐαν.*

Il. XIII 798 *κύματα παφλάζοντα] δεῖξαι θέλει καὶ φύσιν κυμάτων. καί μοι δοκεῖ καὶ τὸν ἦχον μιμήσασθαι διὰ τῆς περὶ τὴν σύν-*

θεσιν τῶν σημείων τραχύτητος· ὅρα δὴ καὶ τὸ ὅμοιο κατάληκτον, κύματα παφλάζοντα, κυρτά, φαληριόωντα.

Il. XIV 344 *χρύσεον] μὴ μεμφέσθω Πλάτων χρυσοῦν νέφος καὶ ἥλιον νικῶν, οἷον ἂν οὐδὲ Ἥφαιστος ποιήσειε, καὶ εὐνὴν ἐξ ἀνθέων· τρεῖς δέ εἰσι τρόποι καθ' οὓς πᾶσα ποίησις θεωρεῖται . . .*

Il. XV 381 *ὥστε μέγα κῦμα] ἀεὶ ἑαυτὸν παρευδοκιμεῖ ὁ ποιητὴς ταῖς ὁμοιώσεσι· τί γὰρ ἐναργέστερον ἢ ἐμφαντικώτερον ἢ καθάπαξ συμφωνότερον ταύτης τῆς εἰκόνος;*

Il. XXI 3 *ἔνθα διατμήξας] θαυμαστήν τινα φαντασίαν ὑποτίθεται, τοσαύτας μυριάδας ἀνδρῶν ὑφ' ἑνὸς διαιρεθῆναι καὶ μεταξὺ τῶν δυοῖν αὐτὸν τάξεων εἶναι.*

Il. XXII 477 *Ἕκτορ, ἐγὼ δύστηνος] ἠθικὸς ὁ λόγος καὶ ἁρμόδιος γυναικί.*

Od. I 268 *ἤ κεν νοστήσας] καλῶς εἰς ἀμφιβολίαν κατέστησεν ἐπεγείρουσα τὸ μειράκιον.*

Od. III 184 *ὡς ἦλθον, φίλε τέκνον] δαιμονίως ὁ ποιητής, ἐμβαλὼν εἰς ἐπιθυμίαν τῶν νόστων τὸν ἀκροατήν, ἀναρτᾷ πάλιν, ἵνα τὰ λοιπὰ δι' ἄλλου χωρίου δηλώσῃ.*

Od. IV 35 *ἐξοπίσω περ παύσῃ] δαιμονίως ἐξέφηνε τὴν γεγονυῖαν αὐτῷ πλάνην διὰ μιᾶς λέξεως.* cf. IV 184, V 110, 222.

Od. V 100 *ἁλμυρὸν ὕδωρ] σαφῶς ἐδήλωσεν Ὅμηρος ὅτι τῆς καθ' ἡμᾶς θαλάσσης ἡ τῆς Καλυψοῦς νῆσος τυγχάνει.*

Od. VIII 59 *τοῖσι δ' Ἀλκίνοος] μέμφονταί τινες ὡς ὀλίγα παρεσκευάσαντος Ἀλκινόου τοῖς Φαίαξι, πολλῶν ὄντων τῶν μελλόντων εὐωχεῖσθαι. καὶ Κράτης δὲ τὸ αὐτὸ πέπονθεν αὐτοῖς πάντας οἰόμενος τοὺς Φαίακας εὐωχεῖσθαι παρὰ τῷ Ἀλκινόῳ· οὐ γὰρ ἦν τὸ πλῆθος ἠθροισμένον, ἀλλὰ δώδεκα μὲν βασιλεῖς, αὐτὸς δὲ τρισκαιδέκατος, καὶ οἱ παῖδες αὐτοῦ, καὶ οἱ ἐρέται τῆς νηὸς πεντήκοντα δύο.*

Od. IX 374 *ψωμοί] . . . οὐ καλῶς δὲ ἐχρήσατο ὁ Ὅμηρος τῇ λέξει ἐπὶ κρεῶν.*

Od. XIX 205 *ὡς δὲ χιών] ἁρμοδίως ἐχρήσατο τῇ πρὸς τὸ δάκρυον παραβολῇ.*

Soph. Oed. Kol. 1354 *ὅς γ' ὦ κακίστε] δαιμονίως τῇ ἀποστροφῇ χρῆται ἀπὸ τοῦ χοροῦ ἐπὶ τὸν Πολυνείκην ὁ Οἰδίπους· παραφύλαξον δὲ, πῶς οἱ αὐτοὶ τῶν λόγων γίνονται τῶν μὲν θηλειῶν ἐγκώμιον, τούτου δὲ κατηγόρημα.*

Oed. Kol. 1617 *ἐξαπείδομεν] . . . παραφυλακτέον δὲ πῶς καὶ τὰ ἄρρητα ὑπ' ὄψιν ἤγαγεν ὁ ἄγγελος ἐκ τῶν σχημάτων μηνύων.*

Trach. 7 *ἡδεῖα δὲ ἡ φράσις καὶ ἡ ἱστορία.*

Ai. 308 *ἐν δ' ἐριπίοις νεκρῶν] . . . θαυμαστῶς δὲ ὑπ' ὄψιν ἤγαγεν τὰ πράγματα, μεταξὺ τῶν πτωμάτων τὴν φαντασίαν ἐπιδεικνύς . . .*

Ai. 986 *ὡς κενῆς σκύμνον λεαίνης] καλῶς τῷ παραδείγματι χρῆται . . .*

Ai. 1123 *κἂν ψιλὸς ἀρκέσαιμι] τὰ τοιαῦτα σοφίσματα οὐκ οἰκεῖα τραγῳδίας· μετὰ γὰρ τὴν ἀναίρεσιν ὑπεκτεῖναι τὸ δρᾶμα θελήσας, ἐψυχρεύσατο, καὶ ἔλυσεν τὸ τραγικὸν πάθος.*

Ai. 1126 *κτείναντά με] . . . τὸ δὲ τοιοῦτο κωμῳδίας μᾶλλον, οὐ τραγῳδίας.*

El. 1098 *θαυμαστὴ ἡ οἰκονομία τοῦ ποιητοῦ, μὴ ἅμα τῇ ἀπαγγελίᾳ τοῦ θανάτου κομίσαι τὰ λείψαντα, ἵνα εὔλογος πρόφασις τῆς παρόδου γένηται τῷ Ὀρέστῃ καὶ παραυτὰ ὁ ἀναγνωρισμὸς πρὸς αὔξησιν τοῦ πάθους.*

Eur. Troad. 36 *τὴν δ' ἀθλίαν] ἄμεινον ἦν ἀπὸ τῶν πραγμάτων παράγεσθαι ὀδυρομένην τὰ παρόντα. οὕτω γὰρ ἂν ἡ τραγῳδία τὸ πάθος εἶχε, νῦν δὲ ψυχρῶς τῷ θεάτρῳ προσδιαλέγεται.*

Hec. 781 *ἐκβάλλει] . . . ἁρμοδία ἡ λέξις ἐπὶ θανάτου.*

Hec. 898 *καὶ γὰρ εἰ μὲν ἦν] οὐ καλῶς φησι ταῦτα ὁ Ἀγαμέμνων. ἐχρῆν γὰρ αὐτὸν ἅπαξ δόντα τὴν χάριν σιωπῆσαι, καὶ μὴ ἐλέγξαι τὴν ἑαυτοῦ γνώμην· οὐ γὰρ ἀνάγκῃ τοιαύτῃ ὑπέκειτο βασιλεὺς ὤν.*

Or. 578 *ἐζημίωσε] ἁρμοδίως καὶ οἰκείως ἡ λέξις ἐνταῦθα κεῖται· εἰ γὰρ ἡ ζημία ζωῆς ἐστι μείωσις καὶ ἐλάττωσις, εἰκότως ζημιοῦν τινα λέγεται ὁ θανάτῳ τὴν ζωὴν αὐτοῦ ἀφελόμενος.*

Or. 1510 *οὔτι ποθ'] ἀνάξια καὶ τραγῳδίας καὶ τῆς Ὀρέστου συμφορᾶς τὰ νῶν λεγόμενα.*

Phoen. 446 *μῆτερ, πάρειμι] κάλλιστα πεποίηται τῷ τραγικῷ τὸ πρόσωπον, οἷον δεῖ εἶναι ἄδικον ἄνδρα . . .*

Med. 1 *εἴθ' ὤφελ' Ἀργοῦς] ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν, εὖ δὲ καὶ τὸ ταῖς ἐκβολαῖς κεχρῆσθαι. πολὺ δὲ τοιοῦτον γένος παρ' Ὁμήρῳ.*

Med. 57 *ὥσθ' ἵμερός μ' ὑπῆλθε] καλῶς ὁ Εὐριπίδης μεμίμηται τοὺς ἐν μεγάλαις δυστυχίαις ἐξεταζομένους καὶ μηδενὶ τῶν ἀνθρώπων ἐθέλοντας εἰπεῖν τὰ δυστυχήματα ἢ διὸ φόβον δεσποτῶν ἢ διά τινα χρείαν συμφέρουσαν τοῖς πράγμασιν.* cf. 324.

Andr. 10 *ῥιφέντα πύργων*] *Λυσανίας κατηγορεῖ Εὐριπίδου κακῶς λέγων αὐτὸν ἐξειληφέναι τὸ παρ' Ὁμήρῳ λεχθέν . . .*

Pind. Ol. I 105 *τούνεκά οἱ*] *δαιμονίως τὴν ἱστορίαν μετεχειρίσατο καί φησιν, ὅτι διὰ τὴν ἀσέβειαν τὴν Ταντάλου οἱ θεοὶ πάλιν ἐξ οὐρανοῦ τὸν Πέλοπα ἀπέστειλαν . . .*

Ol. VI 58 *πρῶτον ἔψαυσε*] *δαιμονίως τὸ ἔψαυσε ὡς ἐπὶ θείας ἀφροδισίας συνόδου ἔταξε.* cf. VI 95.

Ol. IX 64 *ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ*] *καλῶς τοῦ κατακλυσμοῦ μεμνημένος αἰολοβρόντον εἶπε τὸν Δία.*

Pyth. VIII 136 *ἐπιμέμφονται δέ τινες τῷ Πινδάρῳ ὅτι ἐγκώμιον γράφων θρηνεῖ τὸν ἀνθρώπινον βίον.*

Donat. Andr. I 1, 42 abhinc triennium] artificiose triennium dixit.

Andr. I 1, 50 ita ut ingenium est omnium hominum] quanta defensio Chrysidis, ut quae antea fecerit, ipsius sint, quae postea peccavit, naturae hominum adscribantur.

Andr. I 1, 79 beasti, ei metui a Chryside] artificiose, quod gaudium subiecit, ne mors in comoedia luctus ut in tragoedia personaret.

Andr. I 1, 142 perterrefacias venuste et poetice.

Andr. II 1, 25 ah Pamphile] artificiose Terentius personam expressit nuptias recusantem et simul *τὸ πρέπον* virgini reservavit.

Ad. I 2, 15 rei dare operam] quam facete poeta haec omnia falsa ex contrario facit Demeam credere.

Ad. IV 1, 23 siquid rogabit nusquam tu me] magna virtute Terentius rudem, simplicem tumidumque inducit Ctesiphonem ab initio, ut is sit, qui mox opprimetur cum meretrice accumbens interventu patris ob imprudentiam et rusticitatem suam.

Phorm. I 1, 6 invitus feci, lex coegit] bene poeta iam scire facit senem quid isti dicturi sint, ut videatur frangi posse qui iam partem defensionum admittit.

Phorm. II 1, 32 lenem patrem illum] o artificium poetae! in media patris saevitia mentionem levitatis induxit, ut ostendat quam facile placari possit.

Phorm. II 3, 5 Phanium hanc] magno ingenio Terentius

impudentiam calumniatoris expressit, nam et prior incipit et prior accusat.

Serv. Aen. II 668 arma, viri ferte arma] notant hoc critici, quia saepius armari aliquos dicit, cum exarmatos nusquam ostendat; qui nesciunt, non omnia a poeta, ut supra diximus, dici debere; nam et diem describit, nocte non praemissa. superfluo enim dicuntur ea quae necesse est fieri: quis enim domum ingressit, non arma deponat.

Praeter hanc aestimationem generalem dictio scribendique genus singillatim iudicabatur.

Il. II 353 *ἀστράπτων*] *ὅτι ἀκαταλλήλως εἴρηται (ἔδει γὰρ κατανεῦσαι ἀστράπτοντα καὶ φαίνοντα).*

Theocr. id. I 4 *κακῶς οὖν ὁ Θεόκριτος ἐξέτεινε τὸ α νῦν . τῶν γὰρ Δωριέων εἰς α βραχὺ τὸ ε τοῖ δυνητικοῦ συνδέσμου τρεπόντων, οὗτος ἐξέτεινεν δ καὶ παρακατιὼν συνέστειλε.*

Eur. Hipp. 23 *πάλαι προκόψασα*] *ἀρχαισμός ἐστι τοῦτο, οὐ σολοικισμός.*

Pind. Ol. I 9 *ἄστρον*] *κακῶς εἶπεν ἄστρον . ἔδει γὰρ εἰπεῖν ἀστέρα . τὰ γὰρ ἐκ πολλῶν συγκείμενα ἀστέρων ζώδια ἄστρα λέγεται, ὁ δὲ ἥλιος ἀστήρ.*

Donat. And. I 1, 9 servitus] mire servitutem pro dominatu posuit.

Andr. I 1, 28 plerique omnes faciunt] *ἀρχαισμός.*

Andr. I 2, 11 ne esset spatium] miranda locutio, ut si dicas, cogitat ad dicendum.

Andr. II 3, 21 propulsabo eleganter pro eo quod est repellam.

Andr. V 5, 8 nam hunc scio mea solide] *ἀρχαϊσμός.*

Ad. I 2, 47 si pergis abiero] *ἀρχαισμός* pro abibo. cf. II 2, 16, II 3, 31, IV 5, 16, V 3, 55.

Phorm. II 2, 26 otiosum ab animo] *τῷ ἀρχαισμῷ* addidit adhuc, cum potuisset sine hoc integer sensus esse.

Eun. III 5, 1 nemo homo est] quamvis nemo ne homo intellegatur, tamen homo addidit, ut veteres solent *τῷ ἀρχαισμῷ.* cf. IV 2, 2.

Serv. Aen. V 339 effosus in undis] archaismos est.

Aen. XI 686 silvis pro in silvis. et est archaismus.

Saepe quaerebatur, num poeta in soloecismum vel barbarismum incidisset.

Charis.: „aliis ita placuit definire de soloecismo. soloecismus est non conveniens rationi sermonis verborum iunctura. soloecismus fit modis quattuor, adiectione, detractione, immutatione, transmutatione“ (Keil I p. 266).

Barbarismi haec eius definitio est: „barbarismus est dictio vitiosa. haec autem definitio generalis est, non specialis. sed quoniam dictio et contexta oratio et una pars eius intellegitur, consuetudo hunc tantum Barbarismum appellat, qui fit in una parte orationis, aptius tamen hac utemur definitione: barbarismus est una pars orationis corrupta ... barbarismus fit modis quattuor, adiectione, detractione, transmutatione, immutatione“ (Keil I p. 265).

Donatus grammaticus: „barbarismus est una pars orationis vitiosa in communi sermone. soloecismus est vitium in contextu partium orationis contra regulam artis grammaticae factum. inter soloecismum et barbarismum hoc interest, quod soloecismus discrepantes aut inconsequenter in se dictiones habet, barbarismus autem in singulis verbis fit scriptis vel pronuntiatis“ (Keil IV p. 392).

Il. I 129 *δῷσι πόλιν Τροίην*] *Ζωΐλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι. τὸ γὰρ δῷσί φασι πληθυντικόν. ἀγνοοῦσι δέ· ἔστι γὰρ τὸ δῷ ἑνικόν ἐκτεταμένον, ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι.*

Il. II 333 *ἐὰν δὲ στίζωμεν, γίνεται σολοικισμός, ἀΰσάντων ἐπ᾽ Ἀχαιῶν μῦθον ἐπαινήσαντες.*

Il. IV 503 *τὸν δὲ σκότος ὄσσε κάλυψεν*] *σολοικισμὸς παρὰ τὰς πτώσεις. ἔδει γὰρ εἰπεῖν τοῦ δὲ σκότος ὄσσε κάλυψεν.*

Od. IX 257 *δεισάντων φθόγγον τε βαρύν*] *τὸν ἀπὸ τοῦ ἤχου βαρβαρισμόν. ὅλως οὐ τίθησι τὴν λέγουσαν, ἐπὶ τῆς ἀδιαρθρώτου φωνῆς καὶ ἀκατασχηματίστου, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν αὐτῶν τὴν φθογγήν. τὸ δὲ σχῆμα ποιητικόν. ἔδει γὰρ εἰπεῖν ἡμῶν δεισάντων.*

Eur. Phoen. 283 *μέλλων δὲ πέμπειν*] *συλοικοφανὲς τοῦτό ἐστι ἤτοι μέλλοντος πέμπειν με Οἰδίποδος ἐν τῷ δ᾽ ἐπεστράτευσαν Ἀργεῖοι ἢ οὕτως, μέλλων δὲ πέμπειν με, πρὶν ἰδεῖν τοὺς Ἀργείους ἐπιστρατεύσαντας, ἐν τοσούτῳ οἱ Ἀργεῖοι ἐπὶ τὴν πόλιν ἐστράτευσαν.*

Phoen. 1288 *δίδυμα τέκεα*] *διπλᾶ. τοῦτό τινες σολοικισμὸν ἡγήσαντο. ἔδει γὰρ εἰπεῖν, διδύμων τεκέων πότερος ἄρα πότερον αἱμάξει; νῦν δὲ οὐ πρὸς τὸ ῥητὸν ἀπήντησεν, ἀλλὰ πρὸς τὸ νοητόν, τὸν οἶκτον.*

Med. 57 *ὥσθ᾽ ἵμερός μ᾽ ὑπῆλθε*] *τὸ σχῆμα σολοικοφανές, διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως· μολούσῃ γὰρ ἀντὶ τοῦ μολοῦσα.*

Serv. Aen. 355 quem] longe repetiit et Ascanium rettulit. et licet excusetur, tamen *σολοικοφανές* est.

Compluribus locis scholiorum iudicium vel aestimatio ab imperativo modo ut *ὅρα, σκόπει, νόησον*, vide, observa incipiens invenitur.

Il. I 69 Ven. B. *Κάλχας Θεστορίδης*] *ὅρα πῶς ἐν ἀρχῇ διασαφεῖ τὰ ὀνόματα ὡς καὶ ἑτέρου ὑπάρχοντος.*

Il. XI 369 *αὐτὰρ Ἀλέξανδρος*] *ὅρα δὲ ὅτι τῷ Ἀλεξάνδρου ὀνόματι ὡς ἐπὶ πολὺ τὴν Ἑλένην προστίθησι, ὥσπερ ἀναμιμνήσκων τῆς ἀσελγείας αὐτοῦ τοὺς ἀκούοντας.*

Od. IV 164 *πολλὰ γὰρ ἄλγε᾽ ἔχει πατρός*] *ὅρα τὴν σύνεσιν, πῶς τὴν τοῦ πατρὸς σοφίαν ἀπομέμακται.*

Od. V 71 *πλησίαι ἀλλήλων*] *ὅρα τὴν τάξιν.*

Od. V 367 *ὅρα δὴ πῶς ἑαυτῷ ἐπαγωνίζεται ἐν τῇ ἐπαγγελίᾳ ὁ ποιητής. ἄνω γὰρ εἰπὼν „ἔλασεν μέγα κῦμα κατάκρης“ ἤγουν ὁλοκλήρως, νῦν κατηρεφὲς τὸ κῦμα εἶπεν, οἱονεὶ τὸ καταστεγάζον αὐτοῦ τὴν κεφαλήν.*

Od. IX 16 *νῦν δ᾽ ὄνομα*] *ὅρα μεθ᾽ ὅσα νῦν ἑαυτὸν δηλοῖ καταμαθὼν πάντα παρὰ τοῖς Φαίαξιν.*

Od. XIII 20 *καὶ τὰ μὲν εὖ κατέθηχ᾽ ἱερὸν μένος Ἀλκινόοιο*] *ὅρα τὴν κατ᾽ ὀλίγον προκοπήν.*

Soph. Ai. 684 *ἀλλ᾽ ἀμφὶ μὲν τούτοισι*] *ὅρα πόσον ἐπικρατεῖται ὑπὸ τοῦ πάθους λογισμός.*

Eur. Or. 9 *ἴσον*] *ὅρα ἐνταῦθα ὅπως χρῆται ὁ ποιητὴς τὸ ἴσοι τὸ ι ὡς βραχύ· οὐ γάρ ποτε ἐν τέλει στίχου ποὺς εὑρίσκεται συγκείμενος ἐν μακροῦ καὶ βραχέος, ἀλλὰ τουναντίον.*

Or. 414 *ὅρα τὸ εὖφυες τοῦ ποιητοῦ, πῶς δι᾽ ἀμφοτέρων τῶν προσώπων τούτων τοῦ Ὀρέστου καὶ τοῦ Μενελάου τὰς ἐναντίας τῶν ἀνθρώπων δόξας ὑποδηλοῖ.*

Phoen. 47 *Κρέων τ᾽ ἀδελφός*] *σκόπει ὡς ἐνταῦθά ἐστιν ἡ ἀπόδοσις, καὶ μή σε εἰς πλάνην ὁ τε σύνδεσμος ἐμβάλλῃ.*

Phoen. 312 *πῶς ἅπαντα*] . . . *σκόπει τὸ ποικίλον. δέον γὰρ εἰπεῖν, πῶς ἅπαντα λάβω καὶ ἐν χερσὶ καὶ ἐν λόγοις καὶ ἐν ποσίν, ὁ δὲ οὐχ οὕτως ἐξήνεγκεν, ἀλλὰ τὸ μὲν χερσὶ καὶ λόγοις πρὸς τὸ λάβω συνῆψεν, ἐκ δὲ τοῦ εἰπεῖν ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα τὸ ποσὶν ἐδήλωσε· ποδῶν γὰρ τὸ χορεύειν.*

Donat. Ad. IV 2, 39 observa Terentianam consuetudinem, qua inducit non nihil sapere eos, qui falluntur.

Ad. IV 4, 4 tune has pepulist fores] nota pepulisti elatum verbum et tragico cothurno magis quam loquelae comicae accommodatum.

Hec. I 2, 29 non est opus prolato hoc percontarier desiste] vide quam convenienter poeta cum id agat, ut narrantem Parmenonem inducat, tamen multis diverticulis morales facetias internectat.

Iam accedamus ad ultimam partem aestimationis, quae ad bene adulescentes educandos plurimum valebat. Grammatici enim nunquam discipulorum animos in sententias et *παιδευτικοὺς λόγους* qui Graece vocantur intendere neglegebant. Mores in scholis curari confirmare mihi videtur

Terent. Andr. I 1, 40 sapienter vitam instituit] improbatur a sapientibus haec sententia; nam obsequium assentator debet, amicus veritatem; sed in theatro dicitur, non in schola.

Plut. mor. 30 E: „*οἱ δὲ τῶν πρὸς τὸ ἦθος εἰρημένων ὠφελίμως ἔχονται, πρὸς οὓς δὴ νῦν ἡμῖν ὁ λόγος ἐστίν, ὑπομιμνήσκωμεν αὐτοὺς ὅτι δεινόν ἐστι τὸ μὲν φιλόμυθον μὴ λανθάνειν τὰ καινῶς ἱστορούμενα καὶ περιττῶς, μηδὲ τὸν φιλόλογον ἐκφεύγειν τὰ καθαρῶς πεφρασμένα καὶ ῥητορικῶς, τὸ δὲ φιλότιμον καὶ φιλόκαλον καὶ μὴ παιγνίας, ἀλλὰ παιδίας ἕνεκα ποιημάτων ἁπτόμενον ἀργῶς καὶ ἀμελῶς ἀκούειν τῶν πρὸς ἀνδρείαν ἢ σωφροσύνην ἢ δικαιοσύνην ἀναπεφωνημένων*“ . . .

Priscianus sententiam sic definit: „sententia est oratio generalem pronuntiationem habens, hortans ad aliquam rem vel dehortans vel demonstrans, quale sit aliquid“ (Keil III p. 432).

Il. I 334 *Διὸς ἄγγελοι*] . . . *πεπαιδευμένως δέ· οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ᾽ ἑτέρους μετάγειν, ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου.*

Il. II 1 *ἄλλοι*] *διδάσκει δὲ ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετον νύξ, τούς τε ἄρχοντας ὅτι παννυχίζειν δεῖ καὶ παντὶ τρόπῳ τὰς ὑποσχέσεις πληροῦν.*

Il. II 221 *τότ᾽ αὖτ᾽ Ἀγαμέμνων*] *γνώμη· αἱ τῶν μεγάλων ἀτυχίαι ὑψοῦσι τοὺς ταπεινούς.*

Il. XVII 32 *πιστὸν τὸ παίδευμα, καὶ πολλῆς ὠφελείας περιεκτικόν.*

Il. I 33 Ven. B. *καὶ ἐπείθετο θυμῷ*] *διδάσκει ὁ ποιητὴς εἴκειν ταῖς ὑπερβολαῖς.*

Il. VII 125 *Πηλεύς*] *διδάσκει ὅτι τοὺς γέροντας δεῖ καὶ ἀπόντας τιμᾶν.*

Il. XV 109 *διδάσκει δὲ στέργειν τὴν θείαν διοίκησιν.*

Il. XV 138 *διδάσκει δὲ τὰ τοῦ τέλους πράως φέρειν, ὡς κατὰ πάντων τὸ ἀπαράβατον ἔχοντος.*

Il. XVII 404 *παιδευτικὸς ὁ λόγος ὅτι οὐ δεῖ ταῖς ἐλπίσιν πεποιθέναι.* cf. XVII 443, 671.

Il. XVIII 311 *δείκνυσι ὅτι τῆς ἑαυτοῦ γνώμης αὐτοκράτωρ ἐστὶν οὐδείς.*

Il. XIX 300 *διδάσκει δὲ ἀντιποιεῖσθαι πραότητος, εἴγε καὶ μετὰ θάνατον εὔνοιαν πορίζεται τοῖς ἔχουσι.*

Il. XX 453 *εἴ πού τις*] *καὶ τῆς νῦν ἀποτυχίας παιδευτικῶς τὴν αἰτίαν εἰς θεοὺς ἀνήγαγε καὶ τῆς αὖθις ἐπιτυχία.*

Il. XXI 468 *ἔστι δὲ παιδευτικὸς ὁ λόγος πρὸς τὸ αἰδεῖσθαι τοὺς εὐεργέτας, καὶ μᾶλλον τοὺς πρεσβυτέρους.*

Il. XXII 379 *παιδευτικὸν καὶ τοῦτο πρὸς εὐσέβειαν.*

Il. XXIII 537 *ἀλλ᾽ ἄγε δὴ οἱ δῶμεν*] *διδάσκει τοὺς παρὰ τὴν ἀξίαν εὐτυχοῦντας ἐλεεῖν καὶ μὴ τῆς ἀρετῆς ἐᾶν ὑπερτερεῖν τὴν τύχην.*

Il. XXIV 371 *φίλῳ δέ σε πατρὶ ἐίσκω*] *διδάσκει φιλοπάτορας εἶναι καὶ τοὺς ἡλικιώτας τῶν πατέρων σώζειν.*

Od. IV 93 *ὡς οὔτοι χαίρων*] . . . *ἔστιν οὖν παιδευτικόν, ὅτι οὐ χρὴ εἰς τὴν πολυτέλειαν τῶν οἴκων ἀφορᾶν, ἀλλ᾽ εἰς τὴν διάθεσιν τῶν ἐνοικούντων.* cf. IV 364, 553, 691.

Od. V 394 *ὡς δ᾽ ὅταν ἀσπάσιος*] *κάλλιστα παραδείγματα παρὰ γονέων χρηστῶς ἐκτίθεται ὁ ποιητὴς παιδεύων, πῶς ἔχειν πρὸς γονέας δίκαιον.*

Od. VII 310 *ἀμείνω δ᾽ αἴσιμα πάντα*] *γνωμικόν. τὰ καθήκοντα καλά εἰσιν.*

Od. VIII 270 *ἄγγελος ἦλθεν*] *παιδεύει ὡς διδάσκων ὅτι κἂν*

τοὺς πολλοὺς λανθάνῃ τις ἁμαρτών, τὸν γοῦν πάντ' ἐφορῶντα Ἥλιον οὐ λανθάνει.

Od. IX 98 *τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον*] *διδάσκει ὅτι οὐ χρὴ ὑπεριδεῖν ἑταίρους κινδυνεύοντας.*

Od. IX 200 *ᾤκει γὰρ ἐν ἄλσει Φοίβου Ἀπόλλωνος*] *παιδευτικῶς· δεῖ γὰρ φείσασθαι τοῦ ἱερέως διὰ τὴν ἱερωσύνην.*

Hes. Erg. 125 *πλουτοδόται*] *τοῦτο παιδευτικῶς εἶπεν, ἀποκρινόμενος πρὸς τοὺς βασιλεῖς, οἵ πολλοῦ δέουσι εὐπόρους ποιεῖν τοὺς ἀνθρώπους δωροφάγοι τινὲς ὄντες.*

Erg. 223 *οἵ δὲ δίκας ξείνοισι*] *ταῦτα παιδευτικῶς σωφρονίζει τοὺς δικαστάς, εἰς τὸ δίκαιον ὁρᾶν παραινοῦντος, καπὶ πολιτῶν καπὶ ξένων, καὶ μάλιστα ἐπὶ τούτων, διότι τοὺς βοηθοῦντας οὐκ ἔχουσι, καὶ βιάσασθαι ῥᾴδιον ἐρήμους ὄντας αὐτούς.*

Soph. Ai. 118 *ὁρᾷς, Ὀδυσσεῦ*] *παιδευτικὸς ὁ λόγος καὶ ἀποτρεπτικὸς ἁμαρτημάτων . . . καὶ τοῦτο δὲ Ὁμήρου παίδευμα, ὅτι ἐφ' οἷς αὐχοῦσί τινες, τούτων στεροῦνται παρὰ θεῶν, ὡς καὶ Θάμυρις τὴν μοσυικήν, καὶ Νιόβη τῶν τέκνων.*

Ai. 780 *ὁ δ' εὐθὺς ἐξ ἕδρας*] . . . *διὰ πάντων δὲ διδάσκει, ὅτι κρατεῖ τῶν ἀνθρώπων ἡ εἱμαρμένη, καὶ γνῶναι μὲν τὰ ἐσόμενα διὰ μαντικῆς ἐστι, οὐ μὴν καὶ φυλάξασθαι δυνατόν.* cf. 1319.

Pind. Ol. VII 17 *ὁ δ' ὄλβιος*] *οὗτος δέ ἐστι εὐδαίμων, ὃν ἀγαδὴ δόξα καὶ φήμη κατέχει ἤτοι γνωμικῶς ἢ ἰδίως ὃν ἂν εὐφημήσω.* cf. VII 55.

Pyth. II 115 *νεόταπι μὲν*] *τῇ νεότητι μὲν βοηθεῖ ἡ περὶ τὸ πολεμεῖν θρασύτης. τοῦτο δὲ ἐν τῷ καθόλου γνωμικῶς ἀναπεφώνηκεν.*

Pyth. II 138 *οἷα ψιθύρων*] . . . *ὁ δὲ λόγος γνωμικός. ἀκαταμάχητον κὰκὸν τὸ τῶν κολάκων φῦλον.*

Donat. Andr. III 3, 12 quasi hoc te orando impetrare te opporteat] haec plena vox est et caritatis et officii; quod enim amicus ab amico petit, iustum esse debet, nec pro eo, quod est iustum, supplicare opportet.

Andr. III 3, 23 amantium irae] sententia *γνωμική* in qua a specie receditur et in omnes aliquid dicitur.

Phorm. II 1, 11 cum secundae res sunt maxime, tum maxime] bona sententia: tum maxime sapienti metuendum, quo tempore maxime securus est stultus.

Typis expressit Robertus Noske Bornensis.

Vita.

Natus sum ego Clemens Degenhardt a. d. IV. Kal. Aug. anno MDCCCLXXXVI Osnabrugi in oppido Hannoverano patre Francisco, matre Anna e gente Balzer, quos in vivis esse gaudeo. Fidem confiteor catholicam. Postquam litterarum elementis in schola publica Arnsbergii et Aquarum imbutus per IX annos gymnasium Aquarum et oppidi Frisiae, quod vocatur Aurich, frequentavi, maturitatis testimonium a. MCMV assecutus sum eodemque anno universitatis Friburgensis civis factus sum. Vere a. MCMVI ad almam matrem Monasteriensem migravi, autumno eiusdem anni Berolinam me contuli. Ab anno MCMVII hanc sedem Musarum adii.

Docuerunt me: Braig, Diehl, Fabricius, Hense, Lommatzsch, Schmalz, Schmidt, Steup, Übinger Friburgenses; Norden, Rothstein, Vahlen, Wenzel, Wilamowitz Berolinenses; Cauer, Ehrenberg, Geyser, Hielscher, Hosius, Koepp, Koppelmann, Kroll, Mausbach, Meumann, Niehues †, Radermacher, Schwering, Seeck, Sonnenburg, Spannagel, Stempell Monasterienses.

In quibus omnibus praecipue gratias debeo Guilelmo Kroll, cuius consilio et auctoritate in hoc opusculo conficiendo semper uti me licuit.
